καστήρια. παρὰ τὸ τοὺς δικαζομένους δραχμὴν τῷ δημοσίῳ διδόναι. Ἵν᾽ ὦ μέλε.] ἵνα φησὶ παρόντες οἱ ἐναγόμενοι εἰ συνίδοιεν ἑαυτοῖς ἀδικοῦσι καὶ ὀφείλουσι, τοῦ δικάζεσθαι ἀπαλλάττοιντο, διαλυσάμενοι πρὸς τοὺς δανειστὰς, διὰ τῆς τῶν τόκων ἀποδόσεως. εἰ δὲ μὴ οἰκεία ἀποδοῖεν γνώμῃ, ὑπὸ τοῦ δικαστηρίου λυποῖντο. εἰς σκέ- A ψιν οὖν αὐτοῖς φησιν ἐδίδοτο ἡ τριακοστή. ἄλλως. ἵνα πρὸ μιᾶς ἡμέρας παρασχόντες οἱ κατηγορούμενοι διαλυθῶσιν. εἰ δὲ μὴ, τῇ νουμηνίᾳ δικάζοιντο. εἰς σκέψιν οὖν αὐτοῖς ἡ τριακοστὴ συνεχωρεῖτο, ἵνα παρόντες τῇ κλήσει συνίδοιεν τὰς ἡμέρας ἐν αἷς μετὰ τῶν ἐχθρῶν δικάζοιντο.

Ἕωθεν ὑπανιῷντο τῇ νουμηνίᾳ.
Στρεψ. Πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ,
Ἀρχαὶ τὰ πρυτανεῖ᾽, ἀλλ᾽ ἔνῃ τε καὶ νέᾳ;
Φειδ. Ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι παθεῖν,
Ἵν᾽ ὡς τάχιστα τὰ πρυτανεῖ᾽ ὑφελοίατο,
Διὰ τοῦτο προὐτένθευσαν ἡμέρᾳ μιᾷ.
Στρ. Εὖ γ᾽ ὦ κακοδαίμονες, τί κάθησθ᾽ ἀβέλτεροι,
Ἡμέτερα κέρδη τῶν σοφῶν, ὄντες λίθοι,
Ἀριθμὸς, πρόβατ᾽ ἄλλως, ἀμφορῆς νενασμένοι.
Ὥστ᾽ εἰς ἐμαυτὸν, καὶ τὸν υἱὸν τουτονί,
Ἐπ᾽ εὐτυχίαισιν ᾀστέον μοὐγκώμιον.
Μάκαρ ὦ Στρεψίαδες,
Αὐτός τ᾽ ἔφυς ὡς σοφός;
Χ᾽ οἷον τὸν υἱὸν ἐκτρέφεις;
Φήσουσι δή μ᾽ οἱ φίλοι,
Χ᾽ οἱ δημόται ζηλοῦντες.
Ἡνίκ᾽ ἂν σὺ νικᾷς λέγων τὰς δίκας.
Ἀλλ᾽ εἰσαγαγὼν σε βούλομαι
Πρῶτον ἑστιᾶσαι.

*Ii statim ab aurora diei posteri,*
B *Calendis ipsis vexarentur postmodum.*
ST. *Cur ergo magistratus non capiunt Sportulam*
*Calendis, sed die vetere & noua?*
*Cur vno prauertunt die?* PH. *certè illi idem*
*Faciunt quod pragustatores facere solent:*
*Nam vt sportulas praripiant quàm celerrimè,*
*Iccircò nummos pragustant vno die.*
C ST. *O vos miseri, quid stolidi desidetis hîc?*
*Nos nostram rem facimus, qui rectè sapimus: at*
*Vos estis caudices, lapides, numerus, ouis.*
*Vos amphora vino expleta. Quare mihi*
*Ob res secundas accinendum carmen est,*
*Quo & filium & meas fortunas pradicem.*
*Bene habes Strepsiades:*
D *Namque vt sapiens vir es?*
*Et qualem habes hunc filium?*
*Dicent amici mihi,*
*Et amulantes ciues:*
*Quando tu peroraueris in foro.*
*Sed iam introductum te volo*
*Recreare mensa.*

Σχόλια. Ὑπανιῷντο.] ἀντὶ τοῦ μετὰ βίας ἀπαιτοῖντο. ἔθος γὰρ ἦν καταβάλλειν τῇ νουμηνίᾳ. Ἔνῃ τε καὶ νέᾳ.] ἀποδεικτικὸς ὁ τόπος, ὅτι ἔνη καὶ νέα λέγεται ἡ τριακάς. ἀντιδιέστελλε γὰρ πρὸς νουμηνίαν. ἀρχαὶ δὲ οἱ ἄρχοντες. πρυτανεῖα δὲ τὰ διδόμενα ἀπὸ τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια. Ὅπερ οἱ προτένθαι.] οὐκ ἔτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς. ἀλλ᾽ εὐθὺς ἐπὶ τὸ καταβάλλειν ὁρμῶσιν. εἰκὸς γὰρ αὐτοὺς ἀποσκεπτομένους τὴν ἐν δοσίμῳ τριακοστὴν, καταβάλλειν χωρὶς δίκης τὸ χρέος, καὶ μηκέτι τούτους λαμβάνειν τὰ πρυτανεῖα. διὰ τοῦτο τοίνυν προέλαβον τὴν προθεσμίαν ἀπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι. προτένθαι δὲ οἱ προλαμβάνοντες καὶ προεσθίοντες τὰ ὄψα πρὶν εἰς ἀγορὰν κομισθῆναι, καὶ μεταπιπράσκοντες πλείονος, οἳ νῦν μετάβολοι καλούμενοι, ἢ λίχνοι, ἢ ἀκρατεῖς. Ὑφελοίατο] λάβοιεν. οὐκέτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς, ἀλλ᾽ εὐθὺς ἐπὶ τὸ καταλαβεῖν ὁρμῶσι. Προὐτένθευσαν.] προελιμβεύσαντο. προελιχνεύσαντο. προὐθέσμευσαν ἡμέραν μίαν. προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν τοῦ κέρδους.

BISETVS. Εὖ γ᾽ ὦ κακοδαίμονες.] ταῦτα περὶ τῶν δανειστῶν νοητέον, οὓς καὶ μὴ παρόντας ὁ Στρεψιάδης ἀγαλλόμενος καὶ τῇ τοῦ υἱοῦ σοφιστικῇ τέχνῃ πεποιθὼς, κομπαστικῶς οὕτω προσφωνεῖ. εὖγε, καλῶς, ὁσίως. λέγεται καὶ ἐπὶ εἰρωνείας πολλάκις. Σ. Τί κάθησθ᾽ ἀβέλτεροι] ἄδηλον εἰ ὁ Στρεψιάδης πρὸς αὐτοὺς τοὺς δανειστὰς, ἢ E πρὸς τοὺς θεατὰς ἐπιστραφεὶς, ὡς παρὰ τῷ Σουίδᾳ γέγραπται, ταῦτα ἐπιφέρει.

Σχόλια. Ἀβέλτεροι.] ἀνόητοι. βέλτερος γὰρ ὁ φρόνιμος. ἢ ἀπαίδευτοι. πρὸς δὲ τοὺς δανειστὰς ποιεῖται τὸν λόγον. διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος.

BISETVS. Ἡμέτερα κέρδεα τῶν σοφῶν] ταῦτα διὰ παρενθέσεως γραπτέον δοκεῖ. ἄδηλον δὲ, ὡς προείρηται, πρὸς τίνας λέγεται. εἰ μὲν γὰρ πρὸς τοὺς δανειστὰς, ὁ Στρεψιάδης αὐτὸν, καὶ τὸν Φειδιππίδην σοφοὺς εἶναι νομίζων, ὡς εἰκός ἐστι τοὺς τοῦ Σωκράτους μαθητὰς, τοὺς δα- F νειστὰς ὡς ἀμαθεῖς, καὶ ἀπαιδεύτους, καὶ ῥᾳδίως διὰ τοῦτο παραλογίζεσθαι, καὶ ἀπατᾶσθαι δυναμένους εὐτελίζει, καὶ φλαυρίζει. εἰ δὲ πρὸς τοὺς θεατὰς, ὃ καὶ πιθανώτερον, διὰ τοῦ ῥήματος κάθησθε. τούτους ὡς ἀργοὺς, καὶ ἀργίας ἐραστὰς χαριέντως σκώπτει. ἡμέτερα δὲ κέρδεα τῶν σοφῶν, ἤγουν ἡμῶν, οἱ σοφοὶ τυγχάνομεν ὄντες. Ὄντες λίθοι] τουτέστιν ἠλίθιοι. ἀναίσθητοι. μεταφορικῶς. Ἀριθμός] παροιμιακῶς. ὅμοιον τούτῳ τὸ,

-ἐτώσιον ἄχθος ἀρούρης.

G Πρόβατα] στικτέον οὕτως. ὄντες λίθοι, ἀριθμὸς, πρόβατα. Ἄλλως ἀμφορῆς νενασμένοι] Σουίδας. κέραμοι ματαίως σεσωρευμένοι. ἄλλως. κατὰ τὸν Εὐστάθιον, τὰ μάτην, καὶ μὴ κατὰ γνώμην συμβάντα, ἄλλως ἀναβεβηκέναι λέγονται. ὑπακουομένων τῶν, ἢ ὡς ἤλπιζέ τις. Νῆσαι, τὸ σωρεῦσαι. Εὐστάθιος. νῆσαι, καὶ νήσασθαι, τὸ σωρεῦσαι, καὶ φορτίσαι. ἀπὸ τοῦ νέω, ὦ. θέματος, ὃ καὶ νῶ, νήσω κοινότερον λέγεται. καὶ νήθω, παρὰ τὸ νῶ, τὸ σωρεύω, ὁ-